[37] (3) Ἐφ' οὗ καὶ πρὸς τὴν πατρίδα καὶ πόλιν αὐτοῦ [38] τοῦ ἀλιτηρίου καὶ τυράννου μετὰ πολλῆς δυνάμεως [39] Σαρακηνοὶ, παραγενόμενοι χαρτερικῶς [40] ὠχυρωμένην εὑρόντες [41] καὶ κατησφαλισμένην πάνυ καὶ ὑπὸ στρατηγῶν ν' [42] φρουρουμένην μετὰ τῶν [43] λογάδων καὶ τῶν στρατευμάτων αὐτῶν καὶ ταύτην δι' ἡμερῶν ιε' Αὐγούστου μηνὸς [44] ἐκπορθήσαντες καὶ δορυάλωτον εἰληφότες, ᾐχμαλώτευσαν [45] καὶ ἀπέκτειναν Χριστιανῶν πλῆθος ἄπειρον, καὶ [46] ἡ πόλις ἐκαύθη καὶ κατηρειπώθη. Ἀλλὰ [47] μὴν καὶ πλήθη πλοίων αὐτῶν ἐξελθόντα, τὰς **702** Κυκλάδας νήσους ἠρήμωσαν καὶ τὴν Κρήτην καὶ τὴν Σικελίαν [48] παρέλαβον. Καὶ [49] ψῦχος πολὺ γέγονε καὶ χειμὼν ἀγριώτατος καὶ δριμύτατος, καὶ λιμὸς ἰσχυρὸς, καὶ ἀέρος αὐχμοὶ, καὶ δυσκρασίαι, καὶ ἀνωμαλίαι, καὶ σεισμοὶ φοβεροὶ καὶ ἐπάλληλοι, τὴν ἄμετρον ἀπελέγχουσαι τοῦ κρατοῦντος μοχθηρίαν καὶ κακουργίαν· εἰς τοσαύτην γὰρ ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλεν ὁ ἄθεος, ὡς [50] καὶ τὴν τοῦ Κοπρωνύμου καὶ [51] Θηριωνύμου χαλεπὴν καὶ [52] μυσαρωτάτην αἵρεσιν διαδεξάμενος καὶ ἀναδεξάμενος καὶ ἀνακαινίσας, ὡς μηδὲν ἧττον ὀφθῆναι τῆς ἐκείνου δυσσεβείας καὶ παροινίας [53], τυραννίδος τε καὶ ἐμβροντησίας; ὁ πεφεναχισμένος (178*) καὶ ματαιόφρων· Ἐπὶ οὖν τῇ αὐτῇ συσχιθεὶς τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ παραπληξίᾳ τε καὶ οἰστρηλασίᾳ, τῶν ἐκ Μανιχαϊκῆς μανίας καὶ Ἀρειανικῆς λύσσης ὁρμωμένων [54], πάλιν [55] διωγμὸν καὶ αὐτὸς κατὰ τῆς Ἐκκλησίας ὡσαύτως ἐπανετείνετο.

Sub hoc imperatore, in patriam et civitatem pestiferi istius tyranni cum multis viribus Saraceni irruentes, eam fortiter munitam defensamque admodum et a quinquaginta ducibus cum delectis copiis custoditam; eaque per quindecim mensis Augusti dies vastata expugnata, ceperunt, et occiderunt infinitam Christianorum multitudinem, et urbs combusta et eversa fuit. Imo multæ ipsorum naves egressæ insulas Cycladas depopulatæ sunt; Cretamque et Siciliam ceperunt. Acciderunt etiam frigus acerrimum, et hiems asperrima et ferissima, et dira fames, et aeris æstus intemperiesque et perturbatio, et motus terribiles atque continui; quæ omnia imperantis corruptionem indicabant ac nequitiam: in tantam enim impietatem decidit ille atheus, quippe qui Copronymi et Leonis pravam abominabilemque hæresim excepisset susceptisset-que et renovasset, ut minime illis inferior videretur impietate et flagitiis, tyrannide et insolentia princeps iste deceptus et amens. Eadem igitur illusione erroreque et insania devinctus ac impii illi scelestissimique homines qui Manichæo furore et Ariana rabie agebantur, rursus et ipse persecutionem adversus Ecclesiam pariter suscitavit.

(4) Τούτῳ [56] τῷ μισοθέῳ μᾶλλον εἰπεῖν ἢ Θεοφίλῳ προσέφυγε Θεόφοβος ὁ Πέρσης ἅμα τῷ πατρὶ αὐτοῦ μετὰ Περσῶν χιλιάδων ιδ', οὓς διένειμεν ἐν τοῖς θέμασι, κατασκηνώσας καὶ εἰς τούρμας ἀποκαταστήσας, αἳ μέχρι τοῦ νῦν λέγονται τοῦρμαι Περσῶν· αὐτὸν δὲ τὸν Θεόφοβον εἰς ἀδελφὴν Θεοδώρας Αὐγούστης γαμβρὸν ἐποιήσατο.

Ad hunc misotheon potius quam Theophilum profugus venit Theophobus Persa una cum patre suo et Persarum millibus quatuordecim, quibus per turmas divisis, in diversis regionibus assignavit habitationes, qui usque hodie Persarum turmæ appellantur; ipsum Theophobum ex Theodoræ Augustæ sororis nuptiis levirum ipsi fecit.

(5) Φιλόκοσμος δὲ ὢν ὁ αὐτὸς Θεόφιλος κατεσκεύασε διὰ τοῦ ἄρχοντος τοῦ χρυσοχοείου [57], λογιωτάτου πάνυ ὄντος καὶ συγγενοῦς Ἀντωνίου πατριάρχου, τό τε πενταπύργιον καὶ τὰ δύο μέγιστα ὄργανα ὁλόχρυσα διαφόροις λίθοις καὶ ὑελίοις [58] καλλύνας αὐτὰ, δένδρον δὲ [59] χρυσοῦν, ἐν ᾧ στρουθοὶ [60] ἐφε-

Theophilus autem, cum artefactorum ornatu delectaretur, per aurifabrorum principem valde celebrem et Antonii patriarchæ affinem, jussit conflari pentapyrgium et instrumenta maxima duo ex auro solido, lapidibus diversis et crystallis insignita, arboremque auream cui insidentes passer-

Variæ lectiones et notæ.

[33] sic Th. Melitenus, ed. et cod. βασιλεῦ Leo. [34] νῦν om. ed. [35] δή add. ed. [36] ἁγ. om. ed. [37] καὶ — αἰκιζόμενος om. Serb. [37] 838. [38] αὐτοῦ om. C. [39] οἱ add. ed. [40] sic P. et cod., χαρτερῶς ed. [41] εὗρον C. 310. [42] στρ. ῃ' C. [43] u. τῶν λ. αὐ. καὶ στρ. φ. C. 310. [44] Αὐγούστ. μη. cod. τοῦ A. μηνός; C. Αὐγούστῳ μηνί ed. [45] ᾐχμαλωτίσθη καὶ ἀνῃρέθη χ. π. ἀ. C. [46] καὶ — κατ. post παρέλαβον Ced. 310, om. ed. [47] Ἀλλὰ μὴν καί om. C. 310. [48] καὶ Σ. C. 310. [49] Theophili a. 9. Cæterarum calamitatum cum nihil exhibeant reliqui scriptores, videntur hæc phantasmata monachi Theophilo infensi fuisse. [50] ὁ ἀ. ὡς om. C. [51] καὶ τῶν θηριωνύμων ed. [52] καὶ ἀναδ. om. ed. [53] τῆς add. C. 310. [54] sic C. et cod. ὡρμημένων ed. [55] πάλ. cod. πάλαι C. [56] Τούτῳ usque ad. 708,11, Συμμύστην καί, etc. om. C., sed adsunt in Symeone, Leone, Glyca, Theodosio Meliteno. [57] χρυσογείου cod., Leo. χρυσοχόου ed. [58] sic Leo et cod. ἑλίοις ed. [59] δ. τε Leo. [60] sic Melit. Sym. Glyc. στρουθίον ἐφεζόμενον Leo.

culi secretis machinis musicos cantus edebant. Reparavit etiam imperatorias vestes et omnino renovavit, aureisque staminibus contexuit eas quæ lori dicuntur reliquasque omnes.

Publicum etiam jus et rigorem observare simulans, fidem pietatemque præ antecessoribus imperatoribus læsit. Accessit ad eum mulier vidua ad Blachernas (huc enim ventitare solebat), injuriam ab Augustæ fratre Petrona, excubiarum drungario, se pati conquerens, « Adeo enim, aiebat, structuræ muros erigit et ædificia innovat, ut mea penitus obscuret, et quod viduis pro solito contemptis accidit, reddat penitus inutilia. » Statim misit Eustathium quæstorem, cognomine Monachum, qui in Oxia commorabatur, cum Leone Symbatio et Demetrio Camuliano, qui viderent an mulier aliquid damni ex domus reparatione pateretur; qui discedentes et injuriam fieri conspicati, et vera esse quæ a muliere allegarentur, certiores facti, redeuntes, imperatori renuntiaverunt; et in ejus conspectu ab eis convictus Petronas, mediaque via exutus, dorso verbera excepit plurima. Confestim vero quæstor et exceptores abire jussi, Petronæ structuram a fundamentis exæquaverunt et mulieri tradiderunt possidendam.

Ipse Alexium Armenum, cognomento Muselem, fortem et robustum virum, tradita dilecta sibi filia Maria, generum ascivit patriciumque renuntiavit et magistrum paulo post; in suspicionem deinde adductum, quasi imperium affectaret, magistrum militiæ et ducem Siciliæ institutum a se ablegavit. Qualia igitur livor parturire solet, Siculi quidam abeuntes, eum apud imperatorem calumniabantur, quasi quæ Christianorum sunt proderet Agarenis et adversus imperium meditaretur.

Interim Maria, dilecta imperatoris filia, fato functa, urnam ejus argento exornavit, immunitatisque privilegium ex crimine ad illud confugientibus contulit; argentum illud ex sepulcro imperator Leo postmodum sustulit. Tempore deinde quo Alexius calumniam passus est, Theodorum archiepiscopum cognomine Crithinum in urbe forte repertum advocavit Theophilus, propriaque cruce amuleti ritu e collo pendente ipsi tradita, misit in Siciliam securitatis fidem Alexio daturum, et mox ad se adducturum. Profectus ille, pro innata sibi prudentia Alexium verbis persuasum adduxit ad imperatorem : imperator velut rebellem verberibus

ζόμενοι διὰ μηχανῆς τινος μουσικῶς [41] ἐκπλήττων. Ἐκαινούργησε δὲ καὶ τὰς βασιλικὰς στολὰς ὁ βασιλεύς, ἀνανεώσας **703** καὶ χρυσοϋφάντους κατασκευάσας [42], τοὺς λεγομένους λώρους καὶ τὰ λοιπὰ πάντα.

[43] Δικαιοσύνην τε [44] κοσμικὴν προσποιούμενος ἐ τὴν πίστιν καὶ τὴν εὐσέβειαν πλέον ὑπὲρ τοὺς πρώην βασιλεύσαντας ἀδικήσας, προσελθούσης αὐτῷ γυναικὸς χήρας ἐν Βλαχέρναις — ἔθος γὰρ ἦν αὐτῷ ἐκεῖσε ἀπέρχεσθαι — καὶ βοησάσης ὡς ἀδικεῖται παρὰ τοῦ τῆς Αὐγούστης ἀδελφοῦ Πετρωνᾶ, δρουγγαρίου τῆς βίγλης ὄντος· « Ὑψοῖ γὰρ τὰ ἑαυτοῦ οἰκήματα τοῖς [45] κτίσμασιν οἷς καινουργεῖ καὶ τὰ ἐμὰ σκοτίζει καὶ εἰς τὸ μηδὲν εἶναι ποιεῖ, ὡς [46] ἂν [47] χήρας οὔσης καταπεφρονημένης· » καὶ παρευθὺ ἀπέστειλεν Εὐστάθιον κυαίστορα τὸν ἐπίκλην Μοναχόν, ἐν τῇ Ὀξείᾳ [48] οἰκοῦντα, σὺν Λέοντι τῷ Συμβατίῳ [49] καὶ Δημητρίῳ τῷ Καμουλιανῷ ἰδεῖν εἰ τὴν γυναῖκα ἀδικεῖ τὸ καινουργηθὲν οἴκημα, οἳ καὶ ἀπελθόντες καὶ θεασάμενοι τὴν τοιαύτην ἀδικίαν καὶ βεβαιωθέντες ὡς ἀληθῆ εἰσι τὰ παρὰ τῆς γυναικὸς ῥηθέντα, ὑποστρέψαντες ἀνήγγειλαν τῷ βασιλεῖ. Καὶ ἐπ' ὄψεσι τοῦ βασιλέως ἐλεγχθεὶς παρ' αὐτῶν ὁ αὐτὸς Πετρωνᾶς, ἐκδυθεὶς ἐν τῷ μέσῳ τῆς ὁδοῦ τύπτεται τὰ νῶτα σφοδρῶς. Ὡρίσθησαν [50] δὲ ὁ τε κυαίστωρ καὶ οἱ ἀντιγραφεῖς ἀπελθεῖν καὶ ἐκ θεμελίων ἐξεδαφίσαι τὰ τοιαῦτα οἰκοδομήματα [51] καὶ τῇ γυναικὶ παραδοῦναι.

[52] (7) Οὗτος Ἀλέξιον τὸν Ἀρμένιον, ᾧ ἐπίκλην Μωσηλέ, ἀνδρεῖον ὄντα καὶ ῥωμαλέον, εἰσεποιήσατο γαμβρὸν εἰς Μαρίαν, τὴν ἠγαπημένην αὐτῷ θυγατέρα, ποιήσας αὐτὸν πατρίκιον, μετ' ὀλίγον δὲ καὶ μάγιστρον. Εἶτα ὑπολήψεις τινὰς ἐπ' αὐτῷ σχὼν ὡς ὀρεγομένῳ τῆς βασιλείας, στρατηλάτην καὶ δοῦκα τῆς Σικελίας ἐξέπεμψεν· οἷα δὲ τοῦ [53] φθόνου ὀλίνοντος, Σικελοί τινες ἀνελθόντες διέβαλλον τοῦτον **704** τῷ βασιλεῖ ὡς « τὰ μὲν τῶν Χριστιανῶν τοῖς Σαρακηνοῖς προδίδωσι, κατὰ δὲ τῆς βασιλείας σου μελετᾷ. »

(8) Ἐν δὲ τῷ μεταξὺ τεθνηκυίας Μαρίας, τῆς πεποθημένης τῷ βασιλεῖ θυγατρὸς, τὴν μὲν λάρνακα ταύτης ἐξ ἀργύρου ἐκόσμησε καὶ τόμον [54] ἐλευθερίας τοῖς προσφεύγουσιν ἐπ' ἐγκλήματί τινι τεθεικεν ὑπὲρ ἄργυρον μετὰ ταῦτα Λέων ὁ βασιλεὺς ἀνέλετο ἐκ τοῦ τάφου. Ὁ δὲ Θεόφιλος, Θεόδωρον τὸν ἐπίσκοπον (178[b]), τὸν λεγόμενον Κρίθινον, ἐν τῷ καιρῷ τῆς διαβολῆς Ἀλεξίου ἐν τῇ πόλει τυχόντα προσκαλεσάμενος καὶ δοὺς τὸ ἴδιον φυλακτὸν, ἀπέστειλεν εἰς Σικελίαν δοῦναι λόγον ἀπαθείας τῷ Ἀλεξίῳ καὶ ἀγαγεῖν ἐν τῇ πόλει πρὸς αὐτόν. Ὁ δὲ, ἀπελθὼν καὶ τῇ προσούσῃ αὐτῷ συνέσει πείσας Ἀλέξιον, ἤγαγε πρὸς τὸν βασιλέα· ὃν ὁ βασιλεὺς ὡς ἀντάρτην τύπτει;

Variæ lectiones et notæ.

[41] μουσικ. cod. μουσικῆς? [42] sic Th. Mel. et Sym. κατακοσμήσας Leo. [43] 834. [44] Δ. δέ Leo. [45] καὶ τ. κτ. κ. ἐ. τὰ καὶ Leo. τ. κτ. κ. τὰ ἐμὰ δέ Th. Melit. [46] ὡς om. ed. [47] τό Th. Melit ? et cod. Monac. om. ed. [48] Ὀξείᾳ ed. — ἐν Ὀ. Melit. et Monac. ἐν τῇ Ὀξείᾳ ed. [49] Συμβατ. cod. Συμβατίου? [50] ὁρίσθη ed. [51] τὰ τ. οἰκήματα cod. a pr. manu, sed in margine γρ. οἰκοδομήματα· τὰ αὐτοῦ οἰκήματα Leo. [52] 833. [53] τοῦ, τῷ et τοῖς om. ed. [54] τόπον Mon.

ἔθετο ἐν τῷ δεσμωτηρίῳ δημεύσας αὐτοῦ[78] πᾶσαν τὴν περιουσίαν. Ὁ δὲ [79] ἀρχιεπίσκοπος ταῦτα θεασάμενος εἰσῆλθεν ἐν τῷ δεσμωτηρίῳ καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν ἀνέθηκεν Ἀλεξίῳ εἰπών· « Ὅτι δι' ἐμοῦ πάντα πέπονθας τὰ δεινά. » Καὶ τοῦ βασιλέως κατὰ τὸ ἔθος εἰς Βλαχέρνας ἀπελθόντος, προλαβὼν ἕστη ἔνδοθεν τοῦ θυσιαστηρίου ὁ ἀρχιεπίσκοπος ἱερατικὴν στολὴν ἠμφιεσμένος, καὶ τοῦ βασιλέως τῇ σωλέᾳ πλησιάσαντος ἅμα τῇ συγκλήτῳ, φωνῇ μεγάλῃ ἐφώνησεν ὁ ἀρχιεπίσκοπος· [77] « Ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν [78] τίνος, ὦ βασιλεῦ ; » Αἰδεσθεὶς οὖν ὁ βασιλεὺς τῇ [79] συγκλήτῳ ἔφη· « Ἕνεκεν ἀληθείας, καὶ πραότητος, καὶ δικαιοσύνης. » Ὁ δέ· « Καὶ ποία δικαιοσύνη ἐν σοί, ὅτι δοὺς ἐνυπόγραφον λόγον Ἀλεξίῳ, δι' ἐμοῦ οὐκ ἐφύλαξας τοῦτον ; » Ὁ δὲ βασιλεὺς, ὡς ἐλεγχθείς, θυμῷ τε [80] καὶ ὀργῇ ἀκατασχέτῳ κινηθείς, τοῦτον τοῦ θυσιαστηρίου βιαίως ἐξήγαγε καὶ πληγὰς αὐτῷ οὐ μετρίας ἐπιθεὶς ἐξώρισεν, οὐ διὰ τὸ ἐλεγχθῆναι ὑπ' **705** αὐτοῦ μόνος, ἀλλὰ [81] διὰ τὸ καὶ μαθεῖν αὐτὸν τὰς ἁγίας εἰκόνας τεμᾶν καὶ σέβεσθαι, καὶ τὴν αὐτοῦ δυσσέβειαν κρυφαίως διαβάλλειν. Μετ' οὐ πολὺ δὲ ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ παραγινομένου [82] καὶ τοῦ πατριάρχου αὐτὸν ὀνειδίσαντος διὰ τὸν [83] ἀρχιεπίσκοπον, ἤγαγεν αὖθις αὐτὸν μετὰ παρακλήσεως. Τοῦ δὲ ἀνάξιον ἑαυτὸν τῆς ἱερωσύνης κρίναντος δι' ἃ πέπονθεν, ὁ βασιλεὺς οἰκονόμον τῆς Μεγάλης πεποίηκεν [84] ἐκκλησίας καὶ Ἀλέξιον τοῦ δεσμωτηρίου ἐξέβαλεν, ἀποδοὺς αὐτῷ καὶ πᾶσαν τὴν περιουσίαν αὐτοῦ, ἔχων αὐτὸν ἐν τιμῇ.

(9) Ἦν δὲ καὶ Μανουὴλ ὀνομαστότατος στρατηλάτης πάντων τῶν ἐν τῇ Ἀνατολῇ τιμώμενος παρὰ τοῦ βασιλέως. Οὗτος, Μύρωνι συμβαλὼν λόγους τινὰς, λογοθέτῃ τε ὄντι τοῦ ὁρόμου καὶ πενθερῷ τοῦ Πετρωνᾶ, διεβλήθη τῷ βασιλεῖ ὑποβολῇ Μύρωνος, ὡς τῆς βασιλείας ὀρέγεται καὶ ἐμελετᾶτο δεινὰ κατ' αὐτοῦ. Λέων δὲ ὁ πρωτοβεστιάριος ὑπὲρ τοῦ Μανουὴλ προϊστάμενος καὶ φρουτίζων διεβεβαιοῦτο τῷ βασιλεῖ ὡς ψευδῆ εἶεν τὰ κατ' αὐτοῦ λεγόμενα· ἃ μαθὼν Μανουὴλ καὶ τὴν ὀργὴν τοῦ βασιλέως καὶ τὰς διαβολὰς ἐκκλίνων, λάθρα τῆς πόλεως ἐξελθὼν μέχρι Πυλῶν, καὶ τοῖς δημοσίοις ὀχήμασιν ἐπιβάς, ἀπῆλθε φυγὰς μέχρι τῶν κλεισούρων Συρίας, τὰς τῶν ἵππων ἴγνυας ἐκκόπτων· ἐδήλωσέ τε τοῖς Ἀγαρηνοῖς ταῦτα, ὡς « Βασιλέως ὀργὴν ἐκφεύγω, καὶ εἰ μὴ καταναγκάσητέ [85] με τὴν ἑαυτοῦ πίστιν καταλιπεῖν, προσφεύγω ὑμῖν. Εἰ οὖν οὕτω καὶ ἐπὶ τούτοις προσδέχεσθέ με, λόγον ἀπαθείας μοι ἀποστείλατε. » Οἱ δὲ, τοῦτο μεγάλην χαρὰν [86] δεξάμενοι, λόγον ἀπαθείας ἀποστείλαντες, προσεδέξαντο ὡς βασιλέα Ῥωμαίων.

(10) Τοῦτο μαθὼν ὁ βασιλεὺς, ἐν πολλῇ θλίψει καὶ ἀθυμίᾳ γέγονε, καὶ βουλὴν ἐποιεῖτο μετὰ Ἰωάννου συγκέλλου περὶ τούτου. Ὁ δὲ εἶπεν· « Εἰ προθύμως βούλει τὸν Μανουὴλ **706** πρὸς σὲ ἐλθεῖν [87], ὦ βα-

exceptum misit in ergastulum, et omnes ejus facultates publicavit. Quod videns patriarcha, in carcerem se contulit et omnes facultates suas Alexio obtulit dicens : « Quia hæc omnia propter me pateris. » Imperatorem deinde secundum consuetudinem ad Blachernas profectum præveniens archiepiscopus, sacerdotali veste indutus, stetit coram altari ; et imperatori ad soleam jam accedenti cum senatorio ordine, elata voce archiepiscopus exclamavit : « Intende, feliciter procede et regna. Cujus gratia, o imperator ? » Verecundia suffusus imperator senatui dixit : « Veritatis, mansuetudinis et justitiæ gratia. » Tum ille. « Et quænam justitia tua est, qui verbum subscriptione tua firmatum Alexio per me misisti, nec tamen observasti ? » Imperator, ira modum nesciente commotus, violenter hunc ab altari abripuit, verberibusque multis vapulantem in exsilium egit, non solum quia correptus esset ab illo, sed quia didicisset eum sacras imagines venerari et colere, et propriam impietatem ab eo clam condemnari. Non multo post ad Magnam ecclesiam accedenti intentatum facinus in episcopum patriarcha exprobrante, ille precum instantiam reveritus exsilio revocavit : eo vero sacerdotio indignum se judicante, propter ea quæ passus est, imperator œconomum Magnæ ecclesiæ instituit, et Alexium ergastulo liberari jussum rursus excepit, facultatibusque restitutis omnibus, in honore habuit.

Erat autem Manuel miles omnium, qui in Oriente ab imperatore in pretio habebantur nominatissimus. Ipse aliquando cum Myrone, cursus publici logotheta et Petronæ socero, collocutus, ipsius Myronis suggestione apud imperatorem calumniam passus est, velut affectaret imperium, et adversus eum aliquid meditaretur. In adversum Manuelis defensor aderat Leo protovestiarius, deque ejus salute sollicitus imperatori affirmabat falsa quæ ipsi objicerentur. Quibus perceptis, Manuel imperatoris iram et intentatas declinans calumnias, clam urbis portis excessit, et curribus publicis consensis, ad Clusuras usque Syriæ fugitivus abiit ; ubi excisis equorum poplitibus, hæc Agarenis manifestavit : « Iram imperatoris declino : et si non coegeritis meam me deserere fidem, in partes vestras transeo ; si sic excipitis, securitatis indicia mittite mihi. » Illi, nuntio recreati, immunitatis misso libello, velut Romanorum imperatorem admisere.

Quod audiens imperator, multo mœrore et animi angustia correptus est, et cum Joanne syncello de hoc consiliabatur. Ille vero dixit : « Si ex animo Manuelem ad te regredi cupis, acceptis pecuniis,

Variæ lectiones et notæ.

[78] αὐτοῦ om. ed. [79] ὁ δὲ — περιούσιον om. ed. Mon. et Leo ex homoioteleuto, sed est in Mosq. et Melit. [77] Ps. XLV, 5 ἔντεινον. [78] ἐν. ἀληθείας καὶ πραΰτητος, καὶ δικαιοσύνης. [79] τὴν σύγκλητον Melit. [80] θ. τε καὶ ὁ. ἀ. κ. om. ed. [81] καὶ διὰ τό ed. διὰ τὸ καὶ τά Leo. [82] παραγεν. Leo. [83] διὰ τὸν ἐπ. Leo, om. ed. sed αὐτὸν τὸν ἀρχ. ἦγ. αὖθις ed. ἤγαγον αὖθις ἀ. Leo. [84] ἐκκλ. π. ed. Leo. [85] καταναγκάσατε Leo. [86] μ. χάριν Leo, μεγάλῃ χαρᾷ ed. sed Melit. ut Mosq. cf. § 12. [87] προσελθ. ἐ. ed.

ad Amerumnem missus, quasi in carcere detentos visitaturus, negotium hoc conficere paratus sum, et ab imperio tuo securitatis fide subscripta, Manuelem coram conveniens redire suadebo. Subscriptis autem litteris, vocisque suadela totum hoc me peracturum confido, ejus præterea pietatem considerans, etquod hominem deceat amare patriam. Imperator commissa pecuniarum multitudine, et datis ad Amerumnem litteris, virum destinavit.

Ille cum pecuniis et vario apparatu ingressus, adeo ut obstupescerent Agareni, sparsis per ergastula pecuniis, et viso Agarenorum supremo consiliario, cum Manuele etiam clam convenire valuit, et tabulas ab eo subscriptas, et salvum conductum exhibere. His ab eo gestis, quæ fuisset exsecutus imperatori nuntians, regressus est. Manuel autem adversus nationem cum Amerumne inimicitiam agentem proficiscendi facultate petita, postulatis potitus est; ducto namque Amerumnis filio et copioso exercitu, profectionem suscepit, et insignem reportavit victoriam. Quæ res, sicque parta victoria fecit ut in majori quam prius honore haberetur; cunctaque quæ vellet, apud Amerumnem poterat.

Ex quo ad Romaniam regredi valde sollicitus, post temporis spatium aliquod, Amerumnis satrapis dixit : « Si Amerumnis filium et exercitum præbueritis, profectus Romaniam omnem subjugabo. » Quo summa cum lætitia accepto, in prioris gratiæ augmentum et hoc jam sperantes, armis confestim instruxit, et adversus Romaniam misit. Ad orientale itaque thema vicine profectus, domesticis et Amerumnis filio secum adlectis, quasi recreaturus se et venaturus abiit : hostibus deinde remotior factus, Amerumnis filium complexus et deosculatus dixit : « Ad imperatorem patriamque propriam remeo : tu, cum tuis nihil injuriæ pati suspicantibus, redi, ad tuos abi. » Hic quidem eo pacto cum lacrymis et verecundia reversus est. Manuel vero, præmisso ad imperatorem nuntio, rediit.

Imperator, felicis rei successus nuntium excipiens, et muneribus dignitateque illum donans, Manuelem, prout æquum erat, suscepit, et magistrum confestim scholarumque domesticum instituens, etiam filios ejus ex sancto baptismate suscepit.

His elatus imperator, abiit cum Manuele et senatu adversus Agarenos, et Zapetro Samosatoque potitus, civitatibus tunc ditissimis et munitissimis, quia ibi Amerumnes regiam habebat, mox victor evasit spoliaque multa abstulit. Porro reversus ad

σιλεῦ, αὐτὸς ἐγὼ ἕτοιμος τοῦτο ποιεῖν, χρήματα λαβὼν καὶ πρὸς τὸν ἀμερουμνῆν σταλεὶς ὡς δῆθεν τοὺς ἐν εἱρκτῇ καὶ δεσμοῖς ἐπισκεψόμενος, ἔχων καὶ ἐνυπόγραφον λόγον παρὰ τῆς σῆς βασιλείας, ᾧ πείσω τὸν Μανουὴλ εἰς ὄψιν ἐλθών [88]· δοκῶ δὲ τοῦτο πρᾶξαι [89] τῷ ἐνυπογράφῳ (179a) λόγῳ τῆς βασιλείας σου καὶ τῇ ἐμῇ πειθοῖ καὶ τῇ εὐσεβείᾳ ἐκείνου καὶ τῷ εἰκὸς εἶναι τῆς πατρίδος ἐρᾷν. » Ὁ δὲ βασιλεὺς πάμπολλα χρήματα καὶ δῶρα πρὸς τὸν ἀμερουμνῆν δοὺς αὐτῷ, ἀπέστειλεν.

(11) Ὁ δὲ, εἰσελθὼν μετὰ πολλῶν χρημάτων καὶ κόσμου παντοίου, ὥστε καὶ τοὺς Ἀγαρηνοὺς ἐπὶ τῷ πλούτῳ αὐτοῦ ἐκπλαγῆναι, ὃς τὰ δεσμωτήρια ῥογεύσας καὶ τὸν πρωτοσύμβουλον θεασάμενος, ἡδυνήθη καὶ λάθρα συνομιλῆσαι τῷ Μανουὴλ καὶ δοῦναι αὐτῷ τὸν ἐνυπόγραφον λόγον καὶ τὸ φυλακτὸν τοῦ βασιλέως. Καὶ ὁ μὲν ταῦτα [90] πράξας ὑπέστρεψεν, ἀναγγείλας τῷ βασιλεῖ ὅσα διεπράξατο. Ὁ δὲ Μανουὴλ, ἐξαιτησάμενος τὸν ἀμερουμνῆν τοῦ ἐξελθεῖν κατὰ ἔθνους τινὸς πολεμίου αὐτοῖς, ἔτυχε τῆς αἰτήσεως· καὶ λαβὼν τὸν τοῦ ἀμερουμνῆ υἱὸν καὶ λαὸν πλεῖστον ἀπῆλθε, καὶ νίκην μεγάλην εἰργάσατο· καὶ τούτῳ ἐν μείζονι τιμῇ ὑπὲρ τὸ πρῶτον καθίσταται· καὶ πάντα ἦν αὐτὸς παρὰ τῷ ἀμερουμνῇ δυνάμενος.

(12) Ὅθεν ἔχων φροντίδα πολλὴν τοῦ ἐξελθεῖν ἐν Ῥωμανίᾳ, μετὰ καιρόν τινα εἶπε πρὸς τοὺς δυνάστας τοῦ ἀμερουμνῆ, ὅτι « Ἐάν μοι τὸν υἱὸν τοῦ ἀμερουμνῆ καὶ λαὸν παρέξετε, ἐξελθὼν ὑποτάξω τὴν Ῥωμανίαν. » Οἱ δὲ, [91] μεγίστην τοῦτο χαρὰν ἡγησάμενοι καὶ τῷ προτέρῳ πλεονεκτήματι καὶ τοῦτο ἦξη ἐλπίσαντες, εὐθὺς ἐξώπλισαν [92] αὐτὸν καὶ κατὰ Ῥωμανίας ἀπέστειλαν. Ὁ δὲ, ἐλθὼν πλησίον τοῦ θέματος τῆς Ἀνατολῆς, προσκαλεσάμενος τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὸν υἱὸν τοῦ ἀμερουμνῆ, ὡς δῆθεν διακινήσων καὶ κυνηγήσων, **707** πόρρωθεν τῶν πολεμίων γενόμενος, περιπλακεὶς τῷ υἱῷ τοῦ ἀμερουμνῆ καὶ καταφιλήσας αὐτὸν εἶπεν, ὅτι « Ἐγὼ μὲν ἀπέρχομαι πρὸς τὸν βασιλέα μου καὶ τὰ ἴδια, μηδὲν τῶν ἐν τῷ βίῳ προτιμήσας [93] πίστεως καὶ συμφυλετῶν· σὺ δὲ μετὰ τῶν σῶν, ὡς μηδὲν δεινὸν πείσεσθαι [94] ὑποπτεύοντες παρ' ἡμῶν, ἄπιθι πρὸς τοὺς σούς. » Καὶ οὗτος μὲν οὕτω μετὰ δακρύων καὶ αἰσχύνης ὑπέστρεψεν· ὁ δὲ Μανουὴλ ἐχώρει πρὸς τὸν βασιλέα, προαποστείλας αὐτῷ τὸν μηνύσοντα.

(13) Ὁ δὲ βασιλεὺς καὶ τὸν μηνυτὴν ὡς μεγάλων ἀγαθῶν ἄγγελον ἀποδεξάμενος χρήμασί τε καὶ ἀξιώμασιν ἐφιλοτιμήσατο, καὶ τὸν Μανουὴλ, ὡς ἄξιον ἦν, ὑπεδέξατο μάγιστρον εὐθὺς καὶ δομέστικον τῶν σχολῶν ποιησάμενος καὶ τοὺς αὐτοῦ παῖδας ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος.

(14) Τούτοις ἐπαρθεὶς ὁ βασιλεὺς ἐξῆλθε μετὰ Μανουὴλ καὶ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ παντὸς κατὰ τῶν Ἀγαρηνῶν· καὶ εὐπετῶς τήν τε Ζάπετρον καὶ τὸ Σαμόσατον, πλούτῳ κομῶν καὶ δυνάμει τότε διὰ τὸ τὸν ἀμερουμνῆν ἐκεῖθεν εἶναι, παραλαβὼν ἐπ-

Variæ lectiones et notæ.

[88] ἐλθεῖν ed. [89] πράξειν Leo. [90] τοῦτο ed. [91] οἱ δὲ τῷ ἀμερουμνῇ εἰπόντες αὐτὸν ἀπ. ed. [92] ἐξώπλισε -- ἀπέστειλε Leo, sed Theodosius Melit. ut Mosq. [93] πρ. πατρίδος καὶ σ. ed. [94] πεισεσθ. cod. πεισεσθαι ed.?

ἄνεισι τῇ νίκῃ καὶ τοῖς λαφύροις γαυρούμενος. Καὶ ἐλθὼν μέχρι τοῦ Βρύαντος προσέταξεν οἰκοδομῆσαι καλάτιον καὶ παραδείσους φυτεῦσαι καὶ ὕδατα ἀγαγεῖν, ἃ καὶ γέγονεν. Ἐκεῖθεν δὲ ἀφικόμενος εἰς τὴν πόλιν τὰ λάφυρα ἐθριάμβευσεν, ἱππικὸν ποιήσας καὶ τὸ πρῶτον βάϊον παίξας, ἅρματι λευκῷ μὲν ἐποχησάμενος, χρώματι δὲ τῷ Βενέτῳ ἀμφιασάμενος, καὶ νικήσας ἐστεφανώθη, τῶν δήμων ἐπιβοώντων. « Καλῶς ἦλθες [98], ἀσύγκριτε φακτονάρη. »

(15) Τοῦ δὲ πατριάρχου Ἀντωνίου τελευτήσαντος, ἀντ' αὐτοῦ [99] χειροτονεῖται Ἰωάννης ὁ σύγκελλος, ἵν' εἴπω ὁ νέος Ἰαννῆς καὶ Ἰαμβρῆς [100], βεβοημένος ἐπί τε μαγείαις [101] καὶ λεκανομαντείαις καὶ πάσῃ ἀσεβείᾳ [102]· ὃς ὄργανον ἐπιτήδειον εὑρεθεὶς τῆς τοῦ βασιλέως ἀσεβείας τε καὶ ῥοπῆς αὐτῷ **708** πάντα τὰ [103] πρὸς ἀπώλειαν εἰργάζετο καὶ ὃν ὤδινε μὲν, κατεῖχε δὲ βασιλίσκον τῆς ἀσεβείας ὁ βασιλεύς, ἐξέρρηξε καὶ ἀπέτεκε, τὰς ἁγίας εἰκόνας ἀναχρίεσθαι προστάξας ἢ ἀπαλείφεσθαι.

(16) Οὗτος ὁ Ἰαννῆς, πρὸ τοῦ ἄστεος οἴκημα ἐκ λίθων (179[b]) λαξευτῶν κατασκευάσας, ὃ Τροῦλλος μέχρι νῦν ὀνομάζεται, διά τινων θυσιῶν ὡμίλει τοῖς δαίμοσι καὶ τῷ βασιλεῖ τὰ μέλλοντα διεσήμαινεν, ὃ [1] καὶ ἀοίκητον ἔμεινε διὰ τὰς ἐν αὐτῷ γενομένας τότε τῶν δαιμόνων ἐπιφοιτήσεις.

(17) Διὰ ταῦτα [2] σύμμαχον τοῦτον καὶ συνίστορα ἔχων Θεόφιλος τῆς αὐτοῦ αἱρέσεως, ὁ δεύτερος Νεκτανεβὼ, τὸν ῥηθέντα [3] Ἰωάννην, μᾶλλον [4] δὲ Ἰαννῆν τὸν πατριάρχην [5] ἢ μανδριάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον ἢ Βαλαάμ, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κακῶς ἀναφανέντα λεκανόμαντιν καὶ πάσης θεοστυγοῦς [6] πράξεως καὶ τερατείας δεινὸν ὑποφήτην· ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς [7] ὁ εὐρίπιστος καὶ δόλιος [8], ὑπηρέτης δόκιμος [ἐχθίστων [9] πραγμάτων] καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν, οὓς ἂν ἐνδίκως ὁ θεῖος λόγος [10] παράσσεται σχετλιαστικῶς φάσκων· [10] « Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ χάριν [11] ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κωρὲ ἀπώλοντο. » « Οὗτοί εἰσι γογγυσταὶ καὶ [12] μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι ἐν ταῖς ἀπάταις αὐτῶν [13]. » Ἐφαρμόσειεν αὐτοῖς μάλα εἰκότως καὶ τὰ [14] τοῦ ὁμοτρόπου Ἰουλιανοῦ παρὰ τῇ θεολόγῳ στηλιτευόμενα γλώσσῃ· σφόδρα γὰρ ἐμφερὴς ἐναπέψηνε καὶ εἰς μηδὲν ἀπεοικὼς τῆς ἐκείνου κακουργίας καὶ δυστροπίας· ἔφη γοῦν· [15] « Πῶς μὴ δακρύσω τὸν δόλιον; [πῶς;] μὴ πλέον [16] μὲν τῶν [17] δεδιωγμένων τοὺς προσδραμόντες, πλέον δὲ τῶν αὐτομολησάντων εἰς τὴν **709** κακίαν θρηνήσω τὸν συναρπάσαντα; μᾶλλον

A Bryæ locum, palatium exstruxit, plantavit hortos, aquas deduci jussit : quod et factum est. Inde in urbem reversus, onustus spoliis circensibus ludis exhibitis triumphum egit, et curru equis candidis vecto, Venetoque colore insigni primo munere lusit, victorque coronatus est, factionibus acclamantibus : « Feliciter adveneris, o incomparande factionarie ! »

Cæterum patriarcha Antonio vita functo, in ejus locum ordinatus est Joannes syncellus, vere dicam novus Jannes, et Jambres, præstigiis et per pelves divinationibus omnique impietate nominatissimus. Hic velut instrumentum aptissimum imperatoris impietatis et propensionis repertus, ipsi per omnia B in perniciem cooperabatur : et quem conceperat animo, occultabat vero, venenatum impietatis basiliscum imperator, emisit et peperit, cum sacras imagines uno colore infici, verius dicam, deleri præcepit.

Joannes ipse politis et sculptis lapidibus ante urbem exstructa domo (Trullus nunc usque appellatur), sacrificiis quibusdam familiares asciscebat dæmones, et futura imperatori renuntiabat. Domus autem propter dæmonum ad eam frequentiam sine habitatore mansit.

Propterea hunc socium consciumque suæ hæreseos habebat Theophilus, alter Nectanebo, dictum Joannem, potius vero Jannem patriarcham vel C mandriarcham, qui vere novus Apollonius aut Balaam in nostris temporibus visus est, quique pelvium ope divinabat, et omnis impiæ operationis ac præstigii peritus fuit hariolus. A quo litteras edoctus ille levissimus perfidusque princeps, illustris odiosorum operum minister et aptissimum diaboli instrumentum factus est. Istis merito divinus sermo maledicit miserabiliter dicens : « Væ illis, quia in via Cain abierunt, et errore Balaam mercede effusi sunt, et in contradictione Core perierunt. » — « Illi sunt murmuratores, querulosi, secundum desideria sua ambulantes in impietatibus. » Ipsis etiam aptissime convenirent hæc verba e Gregorii Theologi ore adversus Julianum ejusdem modi hominem prolata : hujus enim erat D ille simillimus, et minime ab eo dispar nequitia et morum asperitate. Dicit igitur Gregorius : « Qui potero miserum illum non lacrymis prosequi ? qui potero non et eos amplius lugere qui sua sponte accurrerunt quam quos ille persecutus est, et rursus eum amplius deflere qui alios secum in

Variæ lectiones et notæ.

[98] ἦλ? cod. [99] 837. [100] Ἰαμαρῆς Leo. Ζαμβρῆς ed. sed Ἰαμβρῆς Mosq. Melit. [101] μαντείαις Leo. [102] ἀσ. ὡς ὀργ. cod. [103] τά om. ed. [1] δὴ add. ed. [2] ὃ. τοῦτο ed. om. C. Συμμύστην καὶ συμμαχοῦντά τε καὶ σ. ἐ. τῆς ἀ. C. 134, τῆς ἀ. ἐ. 310. [3] προρηθ. C. [4] μ. δὲ Ἰ. τόν om. C. [5] πατριάρχην ed. φ. μᾶλλον δὲ ματριάρχην καὶ δαιμονάρχην C. 134, φ. μ. δὲ μαντιάρχην καὶ δ. 310. [6] θεοστυγῆ C. 134. [7] καὶ ὑπονοθευθεὶς C. [8] δείλεος C. 310, δείλαιος 134. [9] ἀχθ. πρ. C. 134 om. cod. et ed. [10] Judæ Ep. xi, 16. [11] χ. om. C. [12] γ. μ. C. [13] αὐτῷ ed. δ' ἂν αὐτῷ C. 134. [14] κατά C. 134. [15] Orat. 3 (nunc 4) in Jul. 1, p. 69 C. [16] μὴ πλ. C. πῶς; μὴ πλ. ed. [17] μὲν τῶν δ. C. 310.

[58] (19) Τούτων [59] δὲ οὕτως πραττομένων παρά τε τοῦ βασιλέως καὶ τοῦ συμμύστου αὐτοῦ πατριάρχου, Ἄραβες μετὰ δυνάμεως πολλῆς κατὰ Ῥωμανίας ἐξήεσαν· [60] ὁ δὲ βασιλεὺς ἅμα τοῖς πρόσφυξι Πέρσαις καὶ τοῖς τάγμασι καὶ Μανουὴλ δομεστίκῳ κατ' αὐτῶν ἐχώρει. Καὶ συμβολῆς γενομένης, ἡττήθη ὁ βασιλεὺς καὶ μέσον εἰσῆλθε τῶν Περσῶν, ὑπ' αὐτῶν περισωθῆναι ὑπολαβών. Μανουὴλ δὲ, ὡς ἔγνω περισκοπῶν μέσον τῶν Περσῶν τὸν βασιλέα ὄντα, αὐτοὺς [61] δὲ βουλευομένους τοῖς Ἄραψι τοῦτον προδοῦναι καὶ δι' αὐτοῦ καταλλαγῆναι αὐτοῖς, διασχίσας μέσον αὐτῶν καὶ τοῦ χαλινοῦ τοῦ ἵππου τοῦ βασιλέως λαβόμενος, ἐξεῖλκυσεν [62] ἄκοντα τοῦτον ἐξάγων, αἰσχύνην ἡγούμενος οὐ καθεκτὴν Ῥωμαίοις, εἰ τὸν βασιλέα Ῥωμαίων Ἄραβες αἰχμάλωτον λάβωσιν. Ὁ δὲ βασιλεὺς τῷ δέει τοῦ καθεστηκότος ἐκστὰς, προσρυῆναι πάλιν τοῖς Πέρσαις ἐβούλετο. Ὁ δὲ Μανουὴλ τὸ ξίφος ἀνέτεινεν ὡς πατάξων αὐτόν· ὁ δὲ φοβηθεὶς καὶ ἄκων συνείπετο, μόλις διασωθείς· κἀκεῖθεν ὑπεστράφη [63] ἐν τῷ Δορυλαίῳ μετ' αἰσχύνης καὶ ἥττης πολλῆς. Ὁ δὲ Μανουὴλ ἐν τῷ πολέμῳ τρωθεὶς καὶ νοσήσας ἐτελεύτησε, πολλὰς ἀνδραγαθίας κατὰ τῶν Ἀγαρηνῶν ἀνστησάμενος· τὸ δὲ σῶμα αὐτοῦ ἀποκομισθὲν ἐτέθη ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ [64], τῇ τοῦ Μανουὴλ, σύνεγγυς [τῆς] [65] κιστέρνης τοῦ Ἀσπαροῦ.

A Cum hæc ita ab imperatore agerentur et patriarcha ejus ministro, cum potestate multa adversus Romaniam insurrexerunt Arabes, in quos imperator cum Persis profugis et tagmatibus et Manuele domestico profectus est. Consertis manibus victus imperator, medium Persarum agmen subiit ab ipsis servandus. Manuel vero ut circumspiciens cognovit imperatorem medio Persarum agmine constitutum, eosque jam Arabibus ipsum prodere meditantes, et ejus occasione Arabibus reconciliari, diviso eorum cuneo, medium imperatorem reperit, frenoque apprehenso eduxit : ingentem verecundiam ratus inuri Romanis, si Romanorum imperatorem captivum Arabes abducerent. Imperator rei gestæ pavore consternatus, Persis iterum se tradere consiliabatur ; Manuel in adversum intentato gladio percutere minabatur. Territus ille et invitus ei adjunctus est, et vix inde ereptus, Dorylæum cum pudore et detrimento se recepit. Manuel vero in acie vulneratus, et ægritudine correptus, præclaris facinoribus in Agarenos editis mortuus est. Corpus ejus asportatum in monasterio ab eo constructo, cui Manuelis factum nomen, Asparis cisternæ vicino, depositum est.

711 (20) Καὶ εὐθὺς διαβολαὶ κατὰ Περσῶν πρὸς τὸν βασιλέα καὶ ἀπειλαὶ κατὰ Θεοφόβου ὡς ἀνταρτου καὶ προδότου καὶ δυσμενοῦς· ἃ μαθὼν (ὁ) [66] Θεόφοβος τοὺς Πέρσας ἀναλαβὼν κατῆλθεν ἕως Σινώπης καὶ ταύτην παραλαβὼν κατεῖχε τυραννικῶς· ὅπερ γνοὺς ὁ βασιλεὺς καὶ ἐν μεγάλῃ λύπῃ γενόμενος (ἐδεδίει γὰρ μήπως προσρυῶσι [67] τοῖς Ἄραψι), καὶ μέχρι Παφλαγονίας αὐτὸς ἀπῆει, καὶ λόγον αὐτοῖς ὡς οὐδὲν δεινὸν πείσονται δεδωκὼς καὶ τὸν Θεόφοβον ἀναλαβόμενος, ὑπέστρεψε μετ' αὐτοῦ ἐν τῇ πόλει, τῶν ἄλλων Περσῶν παραγενομένων οὓπερ κατεσκηνώθησαν ἐξ ἀρχῆς· ἠγαπᾶτο δὲ Θεόφοβος παρὰ τῶν πολιτῶν οὐχ ἧττον ἢ τῶν Περσῶν ὡς ὀρθόδοξος.

C Et rursus Persæ auxiliarii apud imperatorem accusati, et contra Theophobum verba minarum prolata, ut perduellem proditoremque. Id audiens Theophobus, assumptis Persis ad Sinopen usque recessit, qua potitus, eam in potestate sua retinuit. Quo completo imperator magno affectus est mœrore (timebat enim ne ad Arabas transiret) et ad Paphlagoniam usque ipse processit, et fide data eos nihil mali passuros, assumpto Theophobo, urbem cum eo repetiit dum Persæ eo redirent ubi primum tentoria fixerant; Theophobum autem cives non minus quam Persæ diligebant.

(21) Τότε δὴ (γίνεται [68] τῷ βασιλεῖ παῖς ἐκ Θεοδώρας, ὃν ἐπωνόμασε Μιχαήλ.)

Eo tempore filius imperatori ex Theodora susceptus, quem vocavit Michaelem.

ΣΞΕ'. *Περὶ τοῦ ἵππου τοῦ βασιλέως* [69].

CCLXV. *De imperatoris equo.*

D Ἀπιόντι (δὲ) τῷ βασιλεῖ πρὸς Βλαχέρνας, καθὼς εἴθιστο, ὑπήντησεν αὐτῷ τις προσελθὼν καὶ λέγων, ὅτι « Ὁ ἵππος, ᾧ ἐποχεῖται ἡ βασιλεία σου, ἐμός ἐστι. » Τοῦ δὲ ἵππου σκιρτῶντος διὰ τὸ αἰφνιδίως προσεῖναι καὶ τοῦ βασιλέως τοῦτον κατασχόντος, τὸν κόμητα τοῦ σταύλου ἐπηρώτησεν ὁ βασιλεύς· « Τίνος ἐστὶν ὁ ἵππος; » Ὁ δὲ ἔφη· « Ὁ κόμης τοῦ Ὀψικίου ἀπέστειλεν αὐτὸν τῇ βασιλείᾳ σου. »

Imperatori vero ad Blachernas, ut ei mos erat, profecto occurrit non nemo, qui ait : « Equus cui majestas tua insidet meus est. » Equo tunc exsiliente quia hic subito astiterat, et imperatoris manu detento, stabuli comitem interrogavit imperator : « Cujus est equus ? » Respondit : « Opsicii comes tuæ eum majestati misit. » Cumque Opsicii comes in urbe tunc ageret, eo in crastinum adducto, una

Variæ lectiones et notæ.

[58] 838 [59] Τούτων — 810,16 κατέθηκαν om. C. et Vat. sed habent P. Leo, Theodosius Melitenus, ut videtur. Symeonis logotheta e breviario petita, cum verbotenus plerumque huic respondeant, interdum vero hoc a variphora sint. [60] ἐξῆεσαν ed. et Melit. ἐξίεσαν cod., ἐδίωξαν Leo [61] αὐτοῖς δὲ β. cod. [62] ἐξῆλασεν ed. ἐξῆλθε Leo. [63] ὑποστρέφει ed. [64] μ. τοῦ ed. [65] τῆς κ. ed. τῇ κ. τοῦ Leo. [66] ὁ om. ed. [67] προσρυῶσι ed. [68] γινομένῳ τῷ β. π. Βλαχέρναις om. γίνεται — Μιχαὴλ ed. κ περχόμενος δὲ ὁ β. ἐν Βλ. Leo. [69] Rubrica Mon. decst in Par. 1706 et in margine codicis abscisso.

καθέντες; ἀρνήσασθαι τὴν αὐτῶν πίστιν καὶ τοῦτο [78] μὴ πεισθέντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν, ἀντὶ τῆς παρούσης ζωῆς τὴν αἰώνιον ἀνταλλαξάμενοι.

(23) Ὁ δὲ, τὴν αἰσχρὰν σωτηρίαν τῆς καλλίστης ἀνταλλαξάμενος, ὁ τοῦ φιλοσόφου Λέοντος μαθητής, προσρυεὶς τῷ ἀμερουμνῇ ἠρωτήθη παρ' αὐτοῦ περὶ τῆς ἐπιστήμης αὐτοῦ. Ὁ δὲ εἶπε μαθητὴς εἶναι τοῦ φιλοσόφου Λέοντος. Οὗτός τε ὅστις ὁ Λέων ἐστὶν καὶ οἷος μαθὼν, αὐτὸν ἐπεθύμει ἐκεῖνον ἰδεῖν, καὶ δή τινι τῶν αἰχμαλώτων δοὺς γράμματα, πρὸς Λέοντα τὸν φιλόσοφον ἀπέστειλεν ἐν Κωνσταντινουπόλει, ὑποσχόμενος αὐτῷ, εἰ ἐξέλθοι [79] ὁ αὐτὸς Λέων, ἀπ' ἐκείνου αὐτὸν εἶναι ἐν τιμῇ. Ὁ Λέων δὲ τὰ γράμματα ἀπολαβὼν καὶ φοβηθεὶς μήπως διαγνωσθῇ, ἀνήγαγε ταῦτα Θεοφίλῳ τῷ βασιλεῖ. Ὁ δὲ, γνοὺς τὰ τῆς ἐπιστήμης αὐτοῦ καὶ ὅτι τοιοῦτον σοφὸν ἄνδρα ἐν τῇ πολιτείᾳ αὐτοῦ ἔχει, προσλαβόμενος αὐτὸν εἶχεν ἐν τῷ παλατίῳ τῆς Μαγναύρας [80], παραδοὺς αὐτῷ διδάσκειν καὶ μαθητὰς, παρέχων αὐτῷ τὰ πρὸς ὑπηρεσίαν ἅπαντα, ὃς καὶ μητροπολίτης ἐν Θεσσαλονίκῃ γέγονεν.

A Discipulus autem Leonis Philosophi salutem honestissimæ turpem præferens, cum ad Amerumnem transiisset, ab eo de scientia sua interrogatus, Leonis discipulum esse professus est. Amerumnes quis et qualis esset iste Leo probare cupiens, captivorum non nemini datis litteris, ad Leonem Philosophum Constantinopolim misit, pollicitus, si veniret, in honore futurum. Acceptis litteris, veritus Leo ne dignosceretur, Theophilo imperatori cuncta detulit. Theophilus de ejus scientia certior factus et quod vir adeo sapiens in civitate regia degeret, vocatum detinuit in Magnauræ palatio, docendi facultate discipulisque et cunctis necessariis ad ministerium exhibitis, qui deinceps metropolita Thessalonicensis exstitit.

(24) Ὁ δ' αὐτὸς κτίζει τὸ (181[a]) Τρίκογχον ἐν τῷ παλατίῳ καὶ τὸ λεγόμενον Σίγμα καὶ τὰς ἀναβάθρας, ἔνθα οἱ **714** δῆμοι ἵστανται, στήσας καὶ φιάλην, ἐν ᾗ γίνεται τὸ Σαξιμοδέξιμον λεγόμενον, τῶν ἵππων ἀμφοτέρων τῶν μερῶν διερχομένων μετὰ χρυσῶν σαγισμάτων. Ὑπὸ δὲ τὸ Τρίκογχον κάτωθεν διὰ μηχανῆς ἐποίησε τὸ λεγόμενον Μυστήριον, ἐν ᾧ τῇ μιᾷ γωνίᾳ ὃ ἂν εἴπῃ [81] τις, ἐξακούεται ἐν τῇ ἑτέρᾳ.

B Idem imperator triconchum in palatio, et quod dicitur Sigma, gradusque, quibus factiones consistunt, et fontem ædificavit, quo peragitur Saximodexiosum dictum, utriusque partis equis aureis stragulis instructis, et pertranseuntibus. Sub triconcho vero ex machina secretum (ita vocant) posuit, in cujus angulo quovis quidquid dixerit aliquis, in altero exauditur.

ΣΞΣ'. *Περὶ Θεοδώρου καὶ Θεοφάνους τῶν αὐταδέλφων* [82].

CCLVI. *De Theodoro et Theophane fratribus.*

[83] (55) Μαθὼν δὲ ὁ αὐτὸς [84] Θεόφιλος, ὅτι Θεοφάνης [85] ὁ ποιητὴς καὶ Θεόδωρος ὁ αὐτάδελφος αὐτοῦ, καθ' ἑαυτοὺς ζῶντες, τὴν ἀσέβειαν αὐτοῦ κωμῳδοῦσι καὶ διελέγχουσιν, ἀποστείλας μετ' ὀργῆς ἤγαγεν αὐτοὺς πρὸς ἑαυτὸν εἰπὼν τάδε· « Πόθεν ἐστέ; » Οἱ δὲ εἶπον· « Ἐκ Παλαιστίνης. » Ὁ δὲ ἀλιτήριος· « Καὶ διὰ τί τὴν γῆν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτε τῇ βασιλείᾳ ἡμῶν; Τῶν δὲ μηδὲν ἀποκριναμένων, ἐπέτρεψε παίεσθαι τὰς ὄψεις αὐτῶν σφοδρῶς· εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρι [86] θανάτου, μετὰ θυμοῦ καὶ τραχείας φωνῆς πρὸς τὸν ὕπαρχον ἔφη· « Ἆρον αὐτοὺς εἰς τὸ πραιτώριον, καὶ γράψον τὰ πρόσωπα αὐτῶν ἐγκολάψας τούσδε τοὺς στίχους·

C Theophilus autem cum didicisset Theophanem poetam et Theodorum ejus fratrem ipsius impietatem suggillare et arguere, mittens cum furore eos ad se accersivit dicens : « Undenam estis? » Dixerunt illi : « Ex Palæstina. » Scelestus autem : « Quam ob causam patria vestra deserta, in ditionem nostram venientes non obeditis imperio nostro? » Illis nihil respondentibus, jussit eorum facies dure percuti. Deinceps vero eisdem ad mortem ferme nervis bubulis per corpus cæsis, cum furore et aspera voce dixit ad præfectum : « Tolle istos in prætorium, et versus hosce vultui eorum inscribe :

[Πάντων [87] ποθούντων προστρέχειν πρὸς τὴν [πόλιν],
Ὅπου πάναγνοι τοῦ Θεοῦ λόγου πόδες
Ἔστησιν εἰς σύστασιν τῆς οἰκουμένης,
Ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
Σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
Ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀτοπίας
Πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,
715 *Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.*

D *Cunctis ad urbem accurrere affectantibus,*
Castissimos in qua Deus Verbum pedes
Fixit, generi salutem ut humano daret,
Apparuere et isti venerando in loco,
Superstitiosi erroris vasa pessima.
Et inde, multa postquam perfidi Deo
Facinora perpetrassent turpia impie,
Ut desertores vertere jussi sunt solum.

Variæ lectiones et notæ.

[78] τούτου μὴ πεισθέντος (πείσαντος)? Leo. [79] ἐξέλθ. cod. ἐξέλθῃ ed. [80] τῇ; Μαναύρας cod. Leo, τῷ Μαγ. ed. [81] εἴποι ed. [82] Π. Θεοφ. καὶ Θεοδ. τῶν ἀ. cod. et Mon. om. Par. 1706. — [83] 831. [84] αὐτὸς ὁ ed. αὐτὸς Leo, quæ indicia sunt narrationis insertæ. [85] Θ. τε καὶ Θ. ed., Θ. π. καὶ Θ. Leo. [86] αὐτοῦ τοῦ add. Leo. [87] Πάντων — πάλιν, Theophili versus om. codex Mosq., versio Serbica, Leo, Genesius; videntur inserta vel e Symeone vel e Continuatore.

Fugaque in urbem hanc delati, imperii caput,
Non destitere ab impura vecordia.
Compuncti igitur facinorosi velut notis,
Ex urbe damnati pelluntur hac quoque.

A *Πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεμφθέντες*
Οὐκ ἐξαρῆναι τὰς ἀθεμίτους μωρίας.
Ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν
Καταχρίονται καὶ διώκονται πάλιν[1].

hoc addens, «Tametsi inelegantes sint, nulla sit tibi cura.» (Hoc autem dixit, sciens eos litteris peritissimos et exercitiis poeticis versatissimos), «nec digni sunt ut elegantes sint iambi.» Responderunt illi : «Scribe, scribe, imperator, quod placuerit, ceu coram justo et tremendo Judice illud idem lecturus.» Præfectus viros in prætorium abductos post dies duos, corpore extento, manibus et pedibus ligatis, acubus suffixit, et versibus in eorum frontibus insculptis, in exsilium misit.

προσθεὶς ὅτι « Κἂν μὴ ὦσι καλοί, μή σοι μελέτω. » Τοῦτο δὲ εἶπεν εἰδὼς αὐτοὺς ὡς σοφωτάτους καὶ ἄριστα ἠσκημένους τῶν ποιητικῶν σχημάτων τὴν ἀκρίβειαν, ἐπειπόντος [2] τινός· « Οὐδὲ ἄξιοί εἰσιν, ἵνα καλοὶ ὦσιν οἱ ἰαμβοι. » Οἱ δὲ εἶπον· « Γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλον [3] τοῦτο ἀναγνωσθῆναι ἐνώπιον τοῦ δικαίου καὶ φοβεροῦ Κριτοῦ. » Ὁ δὲ ὕπαρχος, τούτους ἀγαγὼν εἰς τὸ πραιτώριον, μετὰ δύο ἡμέρας ἁπλώσας ἐν σκάμνοις καὶ δήσας αὐτῶν χεῖρας καὶ πόδας καταπεντήσας τε καὶ ἐγκολάψας τοὺς στίχους εἰς τὰς ὄψεις αὐτῶν,

B ἐξώρισεν.

Et in exsilio quidem moritur S. Theodorus; illustris vero Theophanes poeta ad Michaelis et Theodoræ tempora superfuit, pro fide orthodoxa instituenda plurimum contendens : qui postmodum metropolita Nicænus exstitit, rebus jam in meliorem statum et majorem pietatem compositis.

(26) Καὶ ἐν μὲν τῇ ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος· ὁ δὲ ἀοίδιμος Θεοφάνης ὁ ποιητὴς διήρκεσε μέχρι Μιχαὴλ καὶ Θεοδώρας, ἀγωνισάμενος πλεῖστα ἐν τῇ γενομένῃ ὀρθοδοξίᾳ· ὃς καὶ μητροπολίτης εἰς Νίκαιαν γέγονε, τῶν πραγμάτων ἀποκαταστάντων [4] ἤδη πρὸς τὸ εὐσεβέστερον [5].

Ejus tempore ad Augusteum statuæ Justiniani aureus globus in terram decidit : cunctisque anxiis, et quomodo ad culmen illud conscenderent disceptantibus, artifex quidam scandularius inventus est, qui Magnæ ecclesiæ conscensis tegulis, cum funetelum immisit in Justiniani equum : infixoque ibidem telo ipse per funem excurrens, stuporem cunctis spectantibus incussit : et globo reposito, imperatoris animum sibi conciliavit, solertia sua et ingenio magnum nomen sibi comparans, numismatibus etiam centum ab Augusto donatus.

(27) Ἐπὶ αὐτοῦ ἔπεσεν ἡ χρυσῆ τοῦφα Ἰουστινιανοῦ τοῦ λεγομένου Αὐγουστέως· ἀμηχανούντων δὲ πάντων καὶ πῶς ἀνέλθοιεν διαλογιζομένων, εὑρέθη τις σκαλωτὴς τεχνίτης, καὶ ἀνελθὼν ἐν τοῖς κεράμοις [6] τῆς Μεγάλης ἐκκλησίας, βέλος ἀφῆκε μετὰ σχοινίου εἰς τὸν ἱππότην Ἰουστινιανὸν [7] τὸν ἐκ χαλκοῦ συνιστάμενον· καὶ τοῦ βέλους παγέντος ἐκεῖσε, αὐτὸς διὰ τοῦ σχοινίου διαβραμών, θάμβος

C μὲν τοῖς ὁρῶσι παρείχετο, καὶ τὴν τοῦφαν προσήρμοσε, καὶ τὴν τοῦ **716** βασιλέως ἐπεσπάσατο εὔνοιαν, καὶ τῇ τέχνῃ καὶ τῇ φύσει μέγα προσέθηκεν ὄνομα, φιλοτιμηθεὶς παρὰ τοῦ βασιλέως νομίσματα ρ'.

Theophilus autem filium suum Michaelem in Magna ecclesia coronavit et coronationis die omnibus munera largitus est. Exstruxit etiam hospitium quod ejus de nomine Theophili dicitur. Hic fuerat domus Isidori patricii qui Roma venerat cum Olybrio sub Constantino Magno, postea locus in prostibulum mutatus ad recipiendas meretrices sub Leone Isauro ex fornice hospitium factus est. Hic deinde sedem habuit Constantinus, Irenæ filius, postquam matris jussu excæcatus fuit : hujus autem jam demortui uxor, monasticam vestem in-

D duta, ibi monasterium condidit quod vocavit Pœnitentiæ. Hæc eadem domus, amplitudine et magnificentia mirabilis, cum, trabibus cœnaculi inclinatis, jamjam ruitura videretur, moniales ab imperatore, cum ad Blachernas venisset, ut repararetur postularunt. Renuit ille; sed visa domo delectatus, easdem moniales in aliud monasterium transtulit,

(28) Στέφει δὲ Θεόφιλος Μιχαὴλ τὸν υἱὸν αὐτοῦ, ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ· φιλοτιμησάμενος [8] ἐν πάντας ἐν τοῖς στεφίμοις. Κατεσκεύασε δὲ καὶ ξενῶνα τὸν νῦν μὲν τὰ Θεοφίλου λεγόμενον, οἶκον μὲν γεγονότα Ἰσιδώρου πατρικίου ἀνελθόντος ἀπὸ Ῥώμης μετὰ Ὀλυβρίου ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου, μετὰ δὲ χρόνον ἐκδοθέντα [9] κουρατώρια ὥστε κατοικεῖν ἐκεῖσε γυναῖκας τῶν εὐγενῶν μὴ εἰδυίας σωφρονεῖν· ἐπὶ δὲ Λέοντος Ἰσαύρου ἐκ πορνείου ξενοδοχεῖον ἐχρημάτισεν ἐπὶ αὐτοῦ. Ὕστερον δὲ γέγονεν οἶκος Κωνσταντίνου τοῦ τῆς Εἰρήνης μετὰ τὴν ὑπὸ τῆς μητρὸς γεγονυῖαν τύφλωσιν [10] εἰς αὐτόν· τελευτήσαντος δὲ αὐτοῦ, ἡ γυνὴ αὐτοῦ τὸ μοναδικὸν σχῆμα περιβαλλομένη μοναστήριον κατεσκεύασε καὶ ἐκάλεσε τὰ Μετανοίας. Τοῦ δὲ αὐτοῦ οἴκου μεγίστου τε ὄντος καὶ θαυμαστοῦ, ξύλου ἐν τῷ τρικλίνῳ ἀποκλασθέντος [11], ἠπείλησε πτῶσιν· αἱ δὲ μονάζουσαι, ἀπερχομένου τοῦ βασιλέως ἐν Βλαχέρ-

Variæ lectiones et notæ.

[1] εἰπόντος ed. Leo. [2] μέλλων cod. et Leo, qui ἀναγνῶσαι habet. [3] ἀπ. om. ed. [4] Ἐπὶ τῆς βασιλείας Θεοφίλου ἦν καὶ Ἰωσὴφ ὁ ὑμνογράφος, ὃς ἐξωρίσθη ὑπὸ Θεοδώρας τῆς βασιλίσσης· παρέτεινε δὲ ἡ ζωὴ αὐτοῦ ἕως τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ. Hæc quæ in ed. sequitur notitia de Josepho hymnographo qui usque ad Leonem Sapientem vixerit, non Georgii, sed Continuatoris est glossema ad Theophanis hymnographi historiam, in Leone haud inveniendum. [5] κεραμίοις ed. — [6] Ἰουστινιανοῦ ed. Leo. [7] φ. ὧν π. ed. φ. π.? [8] ἐκδοθεντ. κουρατρ. cod. [9] ἐκτυφ. ed.

ναις (181b) ἐδεήθησαν αὐτοῦ [98] περὶ τούτου. Ὁ δὲ, ἐκνεύσας καὶ θεασάμενος τὸν οἶκον καὶ ἀρεσθεὶς εἰς αὐτὸν, μετοικίζει τὰς αὐτὰς μοναζούσας ἐν ἑτέρᾳ μονῇ, αὐτὸν δὲ τὸν οἶκον, κόσμῳ παντοίῳ καλλωπίσας, ξενῶνα πεποίηκεν, ἐπιδοὺς αὐτῷ χρήματα πάμπολλα καὶ ἀργύριον καὶ προάστεια, ἐπονομάσας αὐτὸν τὰ Θεοφίλου.

A ipsam vero ædem variis decoratam ornamentis in hospitium mutavit, datis ei possessionibus multis, pecunia et prædiis, Theophilique nomen imponens.

[99] (29) Πρὸ δὲ τῆς αὐτοῦ τελευτῆς ὁ θεομισὴς οὗτος βασιλεὺς, βουλὴν [1] μυστικὴν ποιησάμενος μετὰ τῶν ὁμοφρόνων αὐτοῦ περὶ Θεοφόβου τοῦ Πέρσου, ὡς ὅτι ε Πολλὴν ἀγάπην καὶ πίστιν ἔχουσιν εἰς αὐτὸν οἵ τε ὑπ' αὐτὸν Πέρσαι καὶ τῶν ἐν τέλει οὐκ ὀλίγοι, καὶ μήπως, ἐμοῦ τελευτήσαντος, μελετήσωσι τυραννίδα κατά τε τοῦ ἐμοῦ παιδὸς νηπίου ὄντος καὶ τῆς γυναικὸς [2], ἀνήγαγε Θεόφοβον εἰς τὸ πολάτιον καὶ εἶχε μετ' αὐτοῦ. Βαρηθεὶς δὲ ἐκ [3] τῆς νόσου, καθεῖρξε Θεόφοβον ἐν ταῖς καμάραις τοῦ Βουκολέοντος. Τῶν δὲ Περσῶν **717** ἐπιζητούντων αὐτὸν τί ἄρα γέγονεν, ἀποστείλας τῇ νυκτὶ ὁ βασιλεὺς Πετρωνᾶν, τὸν τῆς Αὐγούστης ἀδελφὸν, σὺν τῷ λογοθέτῃ, ἀπέτεμε τὴν κεφαλὴν τοῦ Θεοφόβου. Ἔπεισαν δὲ οὗτοι τοὺς Πέρσας ὡς [ὅτι] μετὰ τοῦ βασιλέως ἐστὶν ἐν τῷ παλατίῳ. Τοῦ δὲ βασιλέως δυσεντερίας [4] νόσῳ τὴν ψυχὴν κακῶς ἀποῤῥήξαντος, ἀπεκομίσθη τὸ δύστηνον αὐτοῦ σῶμα εἰς τοὺς Ἁγίους Ἀποστόλους· τὸ δὲ σῶμα τοῦ Θεοφόβου διὰ τοῦ Βουκολέοντος ἐξαγαγόντες λαθραίως διέσωσαν πλησίον τὰ Ναρσοῦ ἐν τῇ νῦν [5] λεγομένῃ μονῇ [6] τῆς Θεοφοβίας, καὶ τοῦτον ἐκεῖσε κατέστησαν.

B

Ante mortem porro imperator ille Deo exosus, maximo cum hominibus ejusdem sententiæ habito consilio de Persa Theophobo, ut nimirum ab ipsis diligeretur, « Eamque fidem, alebat, ipsi præstant Persæ subditi, ne forte me defuncto adversus filium pueriles annos nondum excedentem, et in uxorem meditentur tyrannidem : eam ob rem Theophobum in palatium adduxit et secum habuit; morbo autem ingravescente, eum carcere inclusit in Bucoleontis fornicibus, Persis autem inquirentibus, quid de illo actum foret, imperator Petronam Augustæ fratrem noctu cum logotheta misit, et Theophili caput amputari jussit. Isti vero cum imperatore in palatio versari Persis denuntiaverunt. Imperatore vero dysenteriæ morbo animam misere projiciente, exsecrandum ejus corpus ad Sanctos Apostolos delatum est. Corpus autem Theophobi per Bucoleontem clam subductum in monasterium, Theophobiæ nunc dictum, Narsetis ædi vicinum deportaverunt : et illud ibidem deposuerunt.

ΣΕΗ'. *Βασιλεία Μιχαὴλ υἱοῦ Θεοφίλου* [7].

[8] Μετὰ τοῦτον [9] ἐβασίλευσε Μιχαὴλ [10] σὺν τῇ μητρὶ [11] αὐτοῦ Θεοδώρᾳ ἔτη [ι]ε' [12], μόνος δὲ ἔτη ι', καὶ σὺν [13] Βασιλείῳ ἔτος α' [μῆνας δ'], ὅστις [14] τὴν πατρῴαν βασιλείαν διαδεξάμενος [15], τὴν [16] θεοστυγῆ παρεισφρήσασαν τῇ Ἐκκλησίᾳ καὶ δεινῶς ἐπικωμάσασαν νέαν θρησκείαν εὖ μάλα γνησίως ἀποσεισάμενος, τὴν ἔκπαλαι [17] θεοβράβευτον, ἱεράν τε καὶ ὀρθοτάτην πίστιν ἀνεκήρυξεν. Ἡ [18] δὲ Θεοδώρα οὕτως ἦν πιστὴ καὶ ὀρθόδοξος, ὡς καὶ τοῦ ἀνδρὸς αὐτῆς ἔτι περιόντος λάθρα [19] τὰς ἁγίας εἰκόνας τιμᾷν [20] καὶ προσκυνεῖν· ἥτις [21] γνώμῃ μὲν ἑαυτῆς, ὑποθήκῃ δὲ **718** καὶ παραινέσει Θεοκτίστου κανικλείου καὶ λογοθέτου ἐξελαύνει τε τῆς ἐκκλησίας καὶ τῆς πόλεως τὸν πατριάρχην Ἰωάννην [22] σὺν τοῖς περὶ αὐτὸν οὖσιν, [23] περιορίσασα τοῦτον ἐν τῷ

C

CCLXVIII. *Regnum Michaelis Theophili filii.*

Post eum Michael una cum matre sua Theodora annos quindecim regnavit, solus decem, cum Basilio vero annum unum et menses quatuor. Hic, paterno potitus imperio, impiæ doctrinæ quæ in Ecclesia subrepens novum induxerat cultum, generose valedicens, a Deo primitus ordinatam sacram et orthodoxam fidem restituit. Theodora vero adeo fide rectisque in Ecclesiam sensibus præstabat, ut ejus viro adhuc superstite, sanctas imagines coleret et veneraretur. Hæc tum proprii animi motu, tum etiam suggestione et sententia Theoctisti Canicleo præpositi et logothetæ, ex Ecclesia et urbe Joannem patriarcham in Clidii, monasterium ita dictum, ad Stenum exsulem ejecit; qui etiam Augustæ compater fuisse dicitur.

D

Variæ lectiones et notæ.

[97] ἀποκλεισθ. cod. [98] αὐτοῦ om. ed. [99] 842. [1] β. μεγίστην π. Leo.— [2] ἀποστείλας add. Leo. [3] Βαρυνθείσης δὲ τῆς Leo. [4] δυσεντερίᾳ Leo, iota subscr. pro ς. [5] λ. νῦν Leo. [6] μονῇ om. ed. [7] Μιχαὴλ καὶ Θεοδώρα Vat. 152 f. 198 a. [8] 842. [9] Μετὰ δὲ Θεόφιλον ἐβ. M. C, M. δὲ Θ. M. Vat. Τῷ στλθ ἔτει τοῦ κόσμου, ἀπὸ δὲ τῆς θείας σαρκώσεως ωλθ' ed. — [10] ὁ υἱὸς Θεοφίλου ed. υἱὸς αὐτοῦ C. 134, ὑ. ἀ. ἔτη κε' 310. ὁ υἱὸς ἀ. διιθύνων καταλιμπάνεται Vat. [11] τῇ ἀ. μ. C. μ. Vat. [12] κατέσχεν ἔτη ιδ' καὶ μ. αὐτοκρατόρησεν ἐ. ι' (ἔτη ιβ' 134) καὶ μ. γ' C. τὰ τῆς βασιλείας σκῆπτρα καὶ ἐβ. σὺν τῇ μ. ἀ. ἔτη δ [ι]' καὶ μ. ἔτη ι' καὶ μ. δ' Vat. [13] καὶ σύν — δ' om. C., μ. δ' om. cod. et ed. — [14] ὅς γε τὴν μὲν π. β. σὺν τῇ μ. Θ. δ. C. 310, ὅς γε τὴν π. β. δ. 134, οὗ τὰ τῆς ἐπιτροπῆς ὅτε πατρίκιος Θεόκτιστος καὶ Μανουὴλ ὁ πρῶτος μαγίστωρ ἠξίωνται· καὶ οὐκ ἐπὶ πολὺ, διαφθαρείσης γὰρ αὐτῶν τῆς ὁμονοίας, κάτεισι μὲν M. ἐκ τοῦ παλατίου ἐν τοῖς κατὰ τὴν κινστέρναν χώροις τοῦ Ἄσπαρος τὴν οἴκησιν ἔχων, ἀποκαταστήσας τὸν ἑαυτοῦ οἶκον, μοναστὰς καταγώγηται, πλὴν ὡς συγκλητὸς προήρχετο. Ἡ δὲ Vat. [15] δεξάμενος A. [16] δὲ C. 134. [17] θεοφιλῇ καὶ add. C. θεόφιλον καὶ A. [18] Ἡ — νηστειῶν om. C. [19] ταύτην add. Leo. [20] τ. τε καὶ σέβεσθαι Leo., τ. τε καὶ σεβάζεσθαι Vat. — [21] ἥτις τὸ μὲν ἀφ' ἑαυτοῦ (ἑαυτῆς) τό τε ὑπ. Θ. ἐπὶ τοῦ κ. καὶ λ. τῆς τε ἐ. καὶ τῆς π. τὸν π. Ἰω. ἐ. Vat. [22] Ἰω. καίπερ σύντεκνον αὐτῆς ὄντα Leo, Ἰω. σύντεκνα ἀ. ὁ. Vat. [23] ὄντας cod. et ed.

in ejus locum Methodium monachum inducit et patriarcham instituit. Monachis vero et episcopis a Theophilo in exsilium missis postliminio revocatis, fidem orthodoxam firmavit, et Ecclesiæ pacem restituit. Et quidem adhuc infans erat imperator; sed qui «ex ore infantium et lactentium perfecit laudem suam,» ille faciebat ut hic veritatem divini dogmatis confiteretur ac declararet, ad gloriam Dei Verbi qui per maximam misericordiam caro factus est, hominibus in terris visus est, et habitavit in nobis, juxta sacrum oraculum.

A Στενῷ [15] εἰς τὸ Κλειδίον οὕτω καλούμενον· [16] λέγεται δὲ καὶ σύντεκνος [17] αὐτῆς εἶναι. Εἰσάγει δὲ τὸν ἐν ἁγίοις Μεθόδιον, μοναχὸν ὄντα, καὶ πατριάρχην ἀποκαθιστᾷ· καὶ πάντας τοὺς ἀπὸ Θεοφίλου ἐξορίστους [17] μοναχοὺς καὶ ἐπισκόπους ἐνώσασα, τὴν ὀρθόδοξον ἐβεβαίωσε πίστιν καὶ τὴν Ἐκκλησίαν εἰρήνευσεν. — Εἰ γὰρ καὶ νήπιος ἐτύγχανεν ὁ βασιλεὺς [18], ἀλλ' ὁ [19] «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτισάμενος αἶνον,» αὐτὸς καὶ τοῦτον παρεσκεύασε [20] τὴν ἀλήθειαν τοῦ θείου δόγματος ἀνυμνῆσαι καὶ φανερῶσαι πρὸς δόξαν τοῦ ἐξ ἄκρων [21] εὐσπλαγχνίαν [22] σαρκωθέντος θείου Λόγου καὶ τοῖς ἀνθρώποις ἐπὶ γῆς ὀφθέντος καὶ συναναστραφέντος κατὰ τὴν ἱερὰν χρησμολογίαν.

Convocavit enim Constantinopolim in synodum sanctos divosque Patres. Ab his improborum infamiumque iconoclastarum pessima hæresis sedulo coarguta est, ac turpia ejus deliramenta penitus eversa; et clare orthodoxa doctrina refulsit velut e quibusdam abditissimis et inextricabilibus labyrinthis tenebrosisque abyssis impiæ ac depravatæ hæreseos. Itaque istius quidem dux et magister, necnon assentatores ejus persecutores et conviciatores, tanquam veritatis adversarii et mendacii defensores, et tanquam lupi rabie acti impuræ diabolicæque superstitionis Manichæorum, a quibus et furorem adversus Dei Incarnati œconomiam, et initium ac principium sumpserunt, ejiciuntur. Eis autem communi consensu Deique instinctu et gratia subrogatur celeberrimus rectæ orthodoxæque fidei propugnator: qui omnes, ut ita dicam, calumnias, funestasque insidias sacris imaginibus structas, et profana deliramenta ab hæresiarchis eorumque nugarum et ineptiarum præconibus prolata tam invicte ac dilucide confutavit et diluit quam qui maxime; et propterea multas subiit persecutiones,

